Fragments of the Silloi and On Physis by Xenophanes of Colophon

ΣΙΛΛΩΝ ΒΙΒΛΙΑ Ε

9 ἐξ ἀρχῆς καθ’ Ὅμηρον, ἐπεὶ μεμαθήκασι πάντες ...

10 πάντα θεοῖσ’ ἀνέθηκαν Ὅμηρός θ’ Ἡσίοδός τε,
ὅσσα παρ’ ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

11 ὡς πλεῖστ’ ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

13 ἀλλ’ εἰ χεῖρας ἔχον βόες ἵπποι τ’ ἠὲ λέοντες
ἢ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
ἵπποι μέν θ’ ἵπποισι, βόες δέ τε βουσὶν ὁμοίας
καί κε θεῶν ἰδέας ἔγραφον καὶ σώματ’ ἐποίουν
τοιαῦθ’, οἷόν περ καὐτοὶ δέμας εἶχον ἕκαστοι. 5

14 Αἰθίοπές τε θεοὺς σφετέρους σιμοὺς μέλανάς τε
Θρῆικές τε γλαυκοὺς καὶ πυρρούς φασι πέλεσθαι.

15 ἑστᾶσιν δ’ ἐλάτης βάκχοι πυκινὸν περὶ δῶμα.

16 οὔ τοι ἀπ’ ἀρχῆς πάντα θεοὶ θνητοῖσ’ ὑπέδειξαν,
ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.

17 καί κ’ ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.

18 πὰρ πυρὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ
ἐν κλίνῃ μαλακῇ κατακείμενον, ἔμπλεον ὄντα,
πίνοντα γλυκὺν οἶνον, ὑποτρώγοντ’ ἐρεβίνθους·
«τίς πόθεν εἶς ἀνδρῶν; πόσα τοι ἔτε’ ἐστί, φέριστε;
πηλίκος ἦσθ’, ὅθ’ ὁ Μῆδος ἀφίκετο;» 5

ΕΠΗ

ΠΕΡΙ ΦΥΣΙΟΣ

19 εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
οὔ τι δέμας θνητοῖσιν ὁμοίιος οὐδὲ νόημα.

20 οὖλος ὁρᾷ, οὖλος δὲ νοεῖ, οὖλος δέ τ’ ἀκούει.

21 ἀλλ’ ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει.

22 αἰεὶ δ’ ἐν ταὐτῷ μίμνει κινεύμενος οὐδέν,

οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ.

23 ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ.

24 γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται
ἠέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται.

25 γῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα γίνονται ἠδὲ φύονται.

26 πηγὴ δ' ἐστὶ θάλασσ' ὕδατος, πηγὴ δ' ἀνέμοιο·
οὔτε γὰρ ἐν νέφεσιν πνοιαί κ' ἀνέμοιο φύοιντο
ὀμβροφυέσσιν ἔσωθεν ἄνευ πόντου μεγάλοιο
οὔτε ῥοαὶ ποταμῶν οὔτ' αἰθέρος ὄμβριον ὕδωρ,
ἀλλὰ μέγας πόντος γενέτωρ νεφέων ἀνέμων τε 5
καὶ ποταμῶν.

27 ἠέλιός θ' ὑπεριέμενος γαῖάν τ' ἐπιθάλπων.

28 ἥν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε,
πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι.

29 πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα.

30 καὶ τὸ μὲν οὖν σαφὲς οὔ τις ἀνὴρ ἴδεν οὐδέ τις ἔσται
εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων·
εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών,
αὐτὸς ὅμως οὐκ οἶδε· δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

31 ταῦτα δεδοξάσθω μὲν ἐοικότα τοῖς ἐτύμοισι.

32 ὁππόσα δὴ θνητοῖσι πεφήνασιν εἰσοράασθαι,

33 καὶ μὲν ἐνὶ σπεάτεσσί τεοις καταλείβεται ὕδωρ.

34 εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον
γλύσσονα σῦκα πέλεσθαι.

---

https://eulogikon.org/works/xenophanes-colophon-fragments-silloi-on-physis-beu-aa · eul_wid beu-aa · Diogenes Lab reading page dc5ad2e6de5a